eul_wid: mmg-ae

*Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα)* · Historical Fragments Anonymous

## History of Heracles, Alban Tablet

*Ἱστορία Ἡρακλέους*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

1a,40,F 1a I G XIV 1293: Ἡρακλέους πράξεις. / Ἡρακλῆς . νν . α γενόμενος / Μινυᾶν (?) Ὀρχομενὸν εἷλε τὰν / πόλιν Ἐργῖνον φονεύσας τὸν / βασιλέα καὶ τὰν λίμναν ἐπὶ / τοῦ πεδίου ........ αὐτοῖς ἀπο/φράξας [ποτα]μόν. καὶ εἰς Λυ/δίαν ἐστρατεύσατο ποτ' Ὀμ/φάλαν τὰν Ἰαρδάνου καὶ Μαί/ονας α[ὐτᾶι] ὑπακόους ἐποίη/σε Κ[ίον τ]ε ἔκτισε (?) πόλιν Πολύ/φαμο[ν βασιλέ]α [ἐ]πιστάσα/ς. Λαομέδοντι [δὲ] ἐβοάθ/ησε Τ[ρωάδος β]ασιλεῖ πολι[ορκουμένωι ὑπὸ] κήτεος· καὶ / ἀτε[ιμασθεὶς] Ἡρακλῆς ὑπὸ Λα/ομέδοντος εἰς Ἄργος ἀπελύ/[θη. ἱδρυ]σάμενος δ' ἐν Τίρυνθι τέ/μενος Ἐνυαλίου μετὰ / Τελαμῶνος τε καὶ Πη/λέως [καὶ] Οἰκλέος ἐπὶ / Τροίαν στρατευσάμε/νος εἷλεν τὰν πόλιν, / Λαομέδοντα καὶ τοὺς υἱ/οὺς ἀποκτείνας πλὰν Πριάμου· [Τελαμ]ών τε Ἡσιόναν ἔλαβεν τὰν / Πριάμου ἀδελφάν, ἐξ / ἇς Τ[εῦκρον υἱὸν ἔ]θετο. / ἐπ ** οπλο / ωνα . α .... ἔλαβε / [Κῶ τὴν Μερο]πίδα φο/νεύσας [Εὐρύπυλο]ν, καὶ / [Χαλκιόπαι μιγεὶς ἐξ] αὐτᾶς [υἱὸν ἔθετο] Θεσσαλόν. / ** Ἴφιτος / ** εἰς] Τίρυνθα / πόλιν ..... ιους ολε/θριας ...... ος . ορ / εις ** ατιοτοκ / νς ** λονοψοι μετὰ δὲ / * λαον Ἡρακλῆς. ἐπὶ / τὸν * εύσας ὕδωρ / προ ** εἰς Αἰτωλίαν ἐλθὼν / ... ε ... εσεν τοὺς π[α]ῖδ[ας] / ** τιων μά[χ]αι / ** καιροις οἵτινες / ** το κατὰ κρά/τ[ος * Αὐγέ]αν ἀ[πέ]κτ[ει]/[νε καὶ τοὺς] υἱοὺς πλὰμ Φυλέ/ως. [ἑλὼν δὲ] καὶ Πύλον Ἡρακ[λῆς] / [κατὰ κράτος] καὶ Μεσσάναν / [Νηλέα] καὶ τοὺς υἱοὺς ἀπές/φαξε πλὰν Νέστορος· Σπά/ρταν τε λαβὼν δορυάλωτ/ον, Ἱπποκόωντα καὶ τοὺς / παῖδας φονεύσας, Τυν[δάρεων σὺν] / Κάστορι καὶ Πολυδεύκαι / φεύγοντα κατάγαγε καὶ / ἔδωκε Λακεδαίμονα. / τουτῶ δὲ πάλιν εἰς Πί/σαν ἐλθὼν Διὸς Ὀλυμ/πίου ἀγωνίσσατο ⟦ καὶ ⟧ ἀγῶνα τὰ Ὀλύμπια πρῶτος ἀγωνιστάς· Δρύοπάς τε ἀπος/τάντας ἔλαβε καὶ / Φύλαντα τὸν / βασιλέα ἀπ/οσφάξας ἐκ / τᾶς θυγατέρος / αὐτοῦ / Μήδας υἱὸν ἔθετο Κτήσιπ/πον. Ἡρακλῆς μὲν οὖν Τραχ/εῖνα ᾠικοδόμησε πόλιν καὶ Τι/ρυνθίους ἐν αὐτᾶι κατῴκισε. το/υτῶ δ' ἐπὶ Θράικαν στρατευσάμ/ενος Διομήδη ἐφόνευσε καὶ / Θράικας ἐκυρίευσε Αἶνόν τε λα/βὼν Σαρπαδόνα τὸν ἄρχοντα ἀ/πέσφαξε· καὶ Θάσον ἑλὼν * / ωι καὶ Ἀλκαίωι παρέδωκε· Τορών/αν τε εἷλε, Πολύγονον καὶ Τηλέ/γονον ἀπέκτεινε· πόλιν τε / Ἄβδηρα ἐπὶ Θράικας Ἡρακλῆς ᾤι/κισε τοῦ Θρονικοῦ υἱοῦ ἐπώνυ/μον Ἀβδήρου. καὶ Ζάταν καὶ / Κάλαιν υἱὼ Βορέα τοῦ Θραικὸς / Δικαιο[πολίτ]ας ἐπιβουλεύσαν[τας] / αὐτῶι παραδιώκων (?) κατάντεις (?) / αὐτοὺς εἰς θάλασσαν ἔρρειψεν. του/τῶ δὲ ἐπὶ Σκυθίαν διαβὰς Ἀρά[ξ]ην / μάχαι ἐνίκασε, τᾶι δὲ θυγατρὶ αὐτοῦ / συγγενόμενος Ἐχίδναι υἱοὺς Ἀ/γάθυρσον ἔθετο καὶ Σκύθαν. του/τῶ δ' ἐπ' Ἀμαζόνας ἦλθε καὶ ἐ/πὶ τὸν Θερμώδοντα ποταμόν, / ἐνίκασε μάχαι φονεύσας ⟦ α μά/χαι φονεύσας α ⟧ Ἱππολύταν· [Σιν]/

ώπαν τε πόλιν Ἡρακλῆς ἑλὼν Ἀμ/αζόνας ἐξέβαλε καὶ Ἕλλανας / ἐν αὐτᾶι κατώικισε. ⟦ τουτῶ δ’ ἐπὶ / Θράικαν στρατευσάμενος Δι/ομήδην ἐφόνευσε ⟧ . Κάστωρ δὲ / καὶ Πολυδεύκα/[ς] Ἡρακλ * / * Ἄμυκον ἐνίκασα/ν μάχαι τὸν Βεβρύκων βασιλέα. / Ἡρακλῆς δ’ ἐπὶ τὸν Ἰνδὸν ἦλθε / ποταμὸν καὶ πόλιν Ἡράκλειαν / τὰν ἐν Σίβαις οἰκίζει. Ἀμαζό/νες δ’ ἐς τὰν Ἀττικὰν εἰσ[έβα]/λον· Θησεὺς δὲ καὶ Πιρ[ίθο]/ος αὐτὰς ἐνίκασαν [μάχαι]· / καὶ ἔλαβεν Θησεὺς αἰ[χμάλωτον] / τὰν Ἱππολύταν (?), ἐξ ἇ[ς υἱὸν] / Ἱππόλυτον ποιεῖται. Ἡρακλῆς δὲ ἐπὶ τὸ Κάλ[πεον] / ὄρος ἦλθε καὶ ⟦ ἐπὶ τὸ .... / εον ὄρος ἦλθε καὶ ⟧ * / νοει πολέμου λαβ * / οαρπειωνιαιτου * / ωσλιετιουεπισκο * / τουτῶ δὲ εἰς Αἰθιο[πίαν] / ἦλθε καὶ Ἠμαθίων[α ἐφό]/νευσε τὸν Λαομέ[δον]/τος υἱὸν Τιθωνο[ῦ, καὶ] / Ἠμαθίωνος ἀπέ[δωκε] / τὰν βασιλήαν [Μέμν]/ονι τῶι Τι[θωνοῦ * ]. / εἰς δὲ Αἴγ[υπτον ἦλθε καὶ] / ἀπέκτε[ινε Βούσειριν· ἐλ]/θὼν ὁ ****

1a,40,F 1b ‘Ἀμφιτρύων ὑπὲρ / Ἀλκαίου τρίπο/δ’ Ἀπόλλωνι.‘ / τοῦτον ὑπὲρ Ἡρακλέους / φασὶν δαφνηφορή/σαντος ἀνατεθῆναι· / τὸ γὰρ ἐξ ἀρχῆς οὐχ Ἡ/ρακλῆ ἀλλ’ Ἀλκαῖον / αὐτὸν καλεῖσθαι.

1a,40,F 1c οὕς ποθ’ ὑπ’ Εὐρυσθεῖος ἀναγκασθεὶς [τέλες’ ἄθλους]· / πρῶτα μὲν ἐν Νεμέαι βριερὸν κατέπεφνε λέοντα· / δεύτερον ὕδραν Λερναίαν ἔκτεινε· τρίτον δὲ / κάπρον ἐν Ἀρκαδίαι· στικτὴν ἔλαφον δὲ τέταρτον· / πέμπτον δὲ στρουθοὺς Στυμφαλίδος ἤλασε λίμνης· / ἕκτον θ’ Αὐγείαο ἐφόρει κόπρον· ἕβδομον ἐλθὼν / ἐκ Κρήτης ταῦρον μέγαν ἤγαγεν· ὄγδοον ἵππους / Θρήικης ἐξέλασεν Διομήδεος, Ἱππολύτης τε / ζωστῆρα ἐξεκόμισσεν Ἀμαζονίδος· δέκατον δὲ / [Γηρυό]νην ἔκτεινε [καὶ ἤ]γαγε βοῦς ἀγελαίας· / ἑνδέκατον δ’ ἐξ Ἅιδου ἀνήγαγε [Κέρβερον αἰνόν·] / Ἑσπερίδων δ’ ἤνεγκε μολὼν [ἐπὶ τέρματα γαίης] / χρύσεα μῆλα, δράκοντα λαθ[ὼν * ] / δώδεκα μὲν τούσδ’ ἐξε[τέλεσσε τότ’, αὐτὰρ ἔπειτα] / Βούσειριν μὲν ἐν Αἰγύπτ[ωι κτάνεν, ἐν Λιβύηι δὲ] / Ἀνταῖον· Φολόην Κεντ[αύρων ἐξεκάθηρεν]· / Κύκνον ἰδ’ ἀε/τόν, ὃς τὸ [Προμηθέος ἤσθιεν ἦπαρ·] / ἐν Λυδοῖς πύματον **

1a,40,F 1d Ἥρας Ἀργείας ἱέρεια / Ἀδμάτα Εὐρυσθέως / καὶ Ἀδμάτας τᾶς Ἀμφι/δάμαντος ἔτη νη .

Eulogikon public reading copy · View original HTML at eulogikon.org